ΘΕ. Ἠικάζομεν ταῦτ'· οὐ γὰρ ἐξηκούομεν.
Ἀλλ' εἶμ'· ἐρήμους δεσπότας τοὐμὸν μέρος
οὐκ ἂν θέλοιμι πολεμίοισι συμβαλεῖν.

ΙΟ. Κἄγωγε σὺν σοί· ταὐτὰ γὰρ φροντίζομεν,
φίλοις παρόντες, ὡς ἔοιγμεν, ὠφελεῖν.

ΘΕ. Ἥκιστα πρὸς σοῦ μῶρον ἦν εἰπεῖν ἔπος.

ΙΟ. Καὶ μὴ μετασχεῖν γ' ἀλκίμου μάχης φίλοις.

ΘΕ. Οὐκ ἔστιν, ὦ τᾶν, ἥ ποτ' ἦν ῥώμη σέθεν.

ΙΟ. Τί δ'; οὐ θένοιμι κἂν ἐγὼ δι' ἀσπίδος;

ΘΕ. Θένοις ἄν, ἀλλὰ πρόσθεν αὐτὸς ἂν πέσοις.

ΙΟ. Οὐδεὶς ἔμ' ἐχθρῶν προσβλέπων ἀνέξεται.

ΘΕ. Οὐκ ἔστ' ἐν ὄψει τραῦμα μὴ δρώσης χερός.

ΙΟ. Ἀλλ' οὖν μαχοῦνταί γ' ἀριθμὸν οὐκ ἐλάσσοσι.

ΘΕ. Σμικρὸν τὸ σὸν σήκωμα προστίθης φίλοις.

ΙΟ. Μή τοί μ' ἔρυκε δρᾶν παρεσκευασμένον.

ΘΕ. Δρᾶν μὲν σύ γ' οὐχ οἷός τε, βούλεσθαι δ' ἴσως.

ΙΟ. Ὡς μὴ μενοῦντα τἄλλα σοι λέγειν πάρα.

ΘΕ. Πῶς οὖν ὁπλίταις τευχέων ἄτερ φανῇ;

ΙΟ. Ἔστ' ἐν δόμοισιν ἔνδον αἰχμάλωθ' ὅπλα
τοῖσδ', οἷσι χρησόμεσθα· κἀποδώσομεν
ζῶντες, θανόντας δ' οὐκ ἀπαιτήσει θεός.
Ἀλλ' εἴσιθ' εἴσω κἀπὸ πασσάλων ἑλὼν
ἔνεγκ' ὁπλίτην κόσμον ὡς τάχιστά μοι.
Αἰσχρὸν γὰρ οἰκούρημα γίγνεται τόδε,
τοὺς μὲν μάχεσθαι, τοὺς δὲ δειλίᾳ μένειν.

ΧΟ. Λῆμα μὲν οὔπω στόρνυσι χρόνος
τὸ σόν, ἀλλ' ἡβᾷ, σῶμα δὲ φροῦδον.

680 ταὐτὰ rec : ταῦτα || 684 et 688 transp. Musgrave || 685 θένοιμι, 686 θένοις Pierson : σθένοιμι et σθένοις || 689 μαχοῦνται Madvig : -οῦμαι || 690 προστίθης *l* : -τιθεῖς || 696 τοῖσδ' οἷσι *l* : τοῖσδ' οὖσι.